

Ἡ Φλωρεντία (σελ. 438).

## ΠΡΟΚΗΡΥΞΙΣ.

*περὶ συνεδρίου ἐπιστημονικοῦ συγκροτήσεως, σοφῶν ἀνδρῶν Βρεττανῶν ὑπογραφαῖς σεσημασμένη δυεῖν καὶ ἑξήκοντα.*

Ἐν Ἐδεμβούργῳ ͵αωξ΄. Τῶν αὐγουσταίων ἑβδομάδων μιᾶς ξύλλογον ἐπιστήμονα, ὁσέτειον καὶ πάνδημον ἀνδρῶν ποιεῖσθαι τῶν εἰδικῶς ἐκ παντὸς γένους ἐπιστημόνων, ἐπιστήμης ἕνεκεν ἐν ταῖς ἑκασταχοῦ ἐκ περιτροπῆς ξυνιόντων Εὐρωπαϊκαῖς μητροπόλεσι, πρὸς ἡμῶν πραγματεύεται. Φωνὴ μὲν οὖν χρήσεσθον δύο μὲν τῶν ἓξ τουτωνὶ παγκοίνων τῆς ἑβδομάδος ξυνεδρειῶν τῇ Τευτονικῇ, δύο δ' αὖ τῇ Βρεττανῶν καὶ δύο ἣν οἱ Γαλατῶν φθέγγονται παῖδες (α). Ἡ δὲ πρόθεσις ἥδε μάλιστα· εἴ πού τίς τι ποτ' ἐξαίρου μονήρες εὕρημα, τοῦτο φέροντα τῷ ὅλῳ τῆς ἐπιστήμης ἐναρμόττειν καὶ ἐγκεντρίζειν συστήματι καὶ τὴν τέως ψιλὴν καὶ ἐπιεικῶς ἰδιώτην εἴδησιν ἐπὶ θεωρίας ἔκφαντον ἀνάγειν ἀκρότητα. Τάχα δ' οὖν ἀνδράσι φρενῶν εὖ ἥκουσι ξύλλογον τοιουτονὶ καθιεῖν ἐπαγγέλλεσθαι Ἀτλαντίδ' ἄντικρυς τὴν ἀνέφικτον καὶ πόῤῥω που ἀφεστηκυῖαν ἐκείνην οὐχ ἧττον ἐπιζητεῖν, ἢ καὶ Κολήμβος τοῖς προτοῦ γεωγράφοις, ἂν δόξειε· καὶ μὴν τῆς καθ' ἡμᾶς, ὡς ἔοικεν, Ἀτλαντίδος ἐξικέσθαι ποτὲ ὅτι πᾶσα ἀνάγκη. Ταύτῃ τοι τὴν μὲν πρώτην ξύνοδον ἐν Παρισίων Λουκοτετίᾳ τοὐπιόντος εὐθὺς ἐκκλησιάζειν αὐγούστου (͵αωξ΄) εὐθαρσῶς ἐσηγούμεθα, οὐ μὴν ἐν πολυκρότοις καὶ πανηγυρικαῖς σεμνυνομένην πομπαῖς, ὡς ἂν μὴ τὸ τῆς τελετῆς κομιδῇ λιτόν, πρὸς τὴν γιγάντειον ἀμέλει ἀντεξεταζόμενον ξύλληψιν, τοῖς θεασομένοις γέλων ἁμωσγέπως ὀφλήσῃ. Τὴν δὲ μετὰ ταύτην εἰκότως ἅμα τῇ μεγάλῃ τοῦ ͵αωξα΄ ἔτους Λονδινείῳ διαθέτει (εἴτε παγκοσμίῳ ἐκθέσει) ἐκεῖσε ποιοίμεθ' ἄν· εἶθ' οὕτω τὴν τρίτην Βερολινόθι, καὶ αὖθις ἐν Πέτρου καὶ Κωνσταντίνου ταῖν πόλεοιν ἐν τῷ μέρει, καὶ Οὐινδοβόνῃ, καὶ Στοχόλμῃ καὶ Παρθενόπῃ ἑξῆς, καὶ Βρυξέλλαις, καὶ Μαδρίτῳ, καὶ Ἅγῃ, καὶ Ἀφνείᾳ (ἢ Κοδανίᾳ), καὶ Ὀλισίπωνι, Μοναχίῳ τε καὶ Ἀρκτοπόλει (Βέρνῃ), καὶ Δρέσδῃ καὶ Ταυρίνων Αὐγούστῃ, καὶ Ἀνοβρίᾳ (ἢ Ἀννοβέρᾳ), κἂν τῷ Δουβλινῶν Λιμένι, καὶ ἐν Στουτγάρδῃ καί, τοῦ ἔτους ͵αωο΄ ἐπιφανέντος, ἐν Ἐδεμβούργῳ. Ἐν γοῦν τοῖς τοῖς παροῦσι νῦν χρόνοις, ὡς ἐνῆν μάλιστ' εὖ καὶ κράτιστα τὰ τῶν διάπλων καὶ λεωφόρων ἐξειργασμένα τε καὶ κατηρτισμένα, πολλῷ δῆλα δὴ τῷ μέτρῳ εὐμαρεστέραν τὴν τῶν πόλεων καὶ χωρῶν, καὶ τῶν ὡς πορρωτάτω διεστώσων (Νέας, φημί, Ὑόρκης καὶ Γοθίας, Καλκούτης καὶ Φραγκοφόρτης, Βογότης, Οὐασιγκῶνος καὶ Καρλοῤῥούης) ἐπιμιξίαν, ὡς εἰκός, ἀπεργάσεται, ἢ ὡς τὰ πρώην ἐπὶ Ὄκηνος (Oken), ἡνίκα χαλεπὸν ἦν, Ἡράκλεις, ἀνὰ τὴν Βο-

(α) Ὅταν δὲ τοιοῦτό ποτε συνέδριον λύσῃ ἐριστικῶς καὶ ἀμεταθέτως τὸ τῇ Εὐρώπῃ σύμπάσῃ σπουδαιότατον, εἴ τι καὶ ἄλλο, περὶ προφορᾶς τῆς Ἑλληνικῆς ζήτημα, τότε καὶ ἑλληνιστὶ ἢ ὅλως ἢ ἐν μέρει γοῦν ἀγορεύσωσιν οἱ συνεδριάσαντες πάντως. Εὐχὴ καὶ ἐλπὶς τοῦ Μεταφρ.